eul_wid: tqu-ai

*Ψευδο-Γαληνός* · Pseudo-Galen

# Whether The Fetus Is An Animal

## *Εἰ Ἔμβρυον Ζῷον*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

19 158 (t1) [Γαληνοῦ] Εἰ ζῷον τὸ κατὰ γαστρός Ὅπερ φυσικοῖς καὶ πᾶσι φιλοσόφοις παρέχει μέχρι τῆς τήμερον περὶ τῆς τοῦ παντὸς φύσεως ζήτησιν, τοῦτο τοῖς Ἀσκληπιάδαις καὶ τοῖς τούτων ἐκγόνοις ἡ τοῦ γιγνομένου καὶ συνισταμένου βρέφους ἐν μήτρᾳ ἀμφίβολος ἔννοια. ὡς γὰρ οἱ τοῦ ὅλου τὴν ἔρευναν ποιούμενοι οὐδὲν σαφῶς ὡρίσαντο πότερον ζῷον ἢ μή, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς τέχνης τῆς ἰατρικῆς προϊστάμενοι ἀόριστον τὸν ὑπὲρ τοῦ φυομένου παιδίου παρέδοσαν λόγον.

19 159 || ὡς οὖν δυσκόλου καὶ δυσκαταλήπτου 〈ὄντος〉 καὶ μήπω στάσιν εἰληφότος 〈τοῦ〉 πράγματος, τῶν εἰς αὐτὸ ῥηθέντων ποιεῖσθαι χρὴ κοινὴν ἀκρόασιν. ὅ τε γὰρ λέγων ἐγὼ ὑμεῖς τε οἱ κριταὶ φύσεως ἀνθρωπίνης κατὰ τὸν Σωκράτην λελόγχαμεν· διόπερ μᾶλλον ἀγαπᾶν χρὴ τὰ λεγόμενα ἢ πέρα τοῦ προσήκοντος ἐπιζητεῖν. τὰ γὰρ ὑπεράνω τοῦ προκειμένου καὶ πρῶτα θεὸς οἶδε καὶ ὁ τούτου συνοπαδὸς ‘καὶ ἀνδρῶν, ὃς ἂν ἐκείνῳ φίλος ᾖ‘ κατὰ τὸν Πλάτωνα. ἔστω δὴ φιλία τε ἅμα 〈καὶ εὔνοια παρ’ ὑμῖν〉 καὶ μὴ φθόνος ἢ ὕβρις ὑπο 〈στάντων〉 τῷ τὰ τοιαῦτα πειρωμένῳ. οὕτω γὰρ ἂν ἡμεῖς τε φιλικώτερον προΐοιμεν εἰς τὰ τοιαῦτα χωρία, ὑμεῖς θ’ ἕξετε τὴν διὰ παντὸς εἰς πάντα αἰώνιον εὔνοιαν καὶ τὴν πρὸς τὸ ὁμόφυλον ἀνεπίφθονον ἀρετήν. Ἀλλὰ γὰρ ὥσπερ περὶ σμικροῦ κόσμου τοῦ ἀνθρώπου μέλλοντες λέγειν τὴν ἀρχὴν ἀπὸ τοῦ μεγάλου ποιησώμεθα, οὗπερ οἷον δάνεισμα καὶ μόριον ὑπάρχομεν. προκατασκευασθείσης δὲ παρ’ ἡμῖν τῆς περὶ τοῦτον φύσεως εὐδηλοτέρα ἡ ἀνθρώπειος γενήσεται σύστασις. περὶ αὐτοῦ δὴ πρότερον τοῦ ὅ τι ποτ’ ἐστὶν ὁ κόσμος ὁρισώ||μεθα.

19 160 συστήσεται γὰρ ῥᾷστα ἡ οὐσία τοῦ [ὅλου] ὅρου τὸ πᾶν σημήναντος. πρὸ δὲ τῆς ὑπάρξεως αὐτοῦ τί ἐστι ζῷον εἴπωμεν, ἵνα τοῦ ὅρου τὸ προκείμενον ἐπαγγειλαμένου φανῇ τὰ τῆς φύσεως τοῦ παντὸς σπέρματα. ζῷον τοίνυν ἐστὶν οὐσία ἔμψυχος αἰσθητική [τοῦ γένους πάντων τῶν ὑπ’ αὐτῷ κατηγορουμένου· μέχρι μὲν οὖν 〈ἂν〉 ἁπλῶς τοιοῦτο λέγηται, πάντα περιλαβὸν ἐν ἑαυτῷ ἔχει· ἐπειδὰν δὲ τὸ εἰδοποιοῦν ἑκάστῳ προστεθῇ [τὸ] διάφορον, ἐδείχθη γένος εἰς εἴδη μεριζόμενον]. ἴδωμεν οὖν εἰ ζῷόν ἐστιν ὁ κόσμος καὶ εἴτε τὴν ἀρχὴν ἐγένετο εἴτ’ αὖ πάλιν τὴν ὁλόκληρον ἐπέσχε φύσιν. κόσμος τοίνυν ἐστὶ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ φύσεων καὶ ὕδατος καὶ ἀέρος, καὶ τὸ διῆκον 〈ἔχον〉 διὰ πάντων αὐτῶν ἀρχηγὸν καὶ πρωτόγονον πνεῦμα, ὅπερ καλοῦσι παῖδες φιλοσόφων ἢ ψυχὴν ἢ μονάδα ἢ ἄτομον ἢ πῦρ ἢ ὁμωνύμως τῷ γένει πνεῦμα πρῶτον. ταῦτα δὲ ἦν μὲν καὶ πρὸ τοῦ ταύτην ἔχειν τὴν ἐπωνυμίαν, ἀλλὰ τότε μὲν ἄκριτα ἦν καὶ ἀδιάλλακτα καὶ ὥς φασί τινες || ὕλην εἶχε τοὔνομα, κόσμος δὲ

νῦν διὰ τὸ δρᾶν ἐμμελῶς καὶ εὐτάκτως καὶ ὡς ἂν ἐν ῥυθμῷ καὶ κόσμῳ ποιεῖσθαι τὴν κίνησιν· ἀκινήτους γὰρ ἐγὼ φήσαιμ’ ἂν εἶναι καὶ λίθοις παραπλησίους τοὺς ἀκίνητον τοῦτο λέγοντας τὸ πᾶν.

19 161 ἐξ ὅλων οὖν ὁ κόσμος ὅλος ἥρμοσται καὶ ἐκ τελείων τέλειος καὶ ἐξ αὐτοτελῶν ἀνενδεής, καὶ ἦν καὶ ἔσται κινούμενον ζῷον. ἀλλὰ τότε μὲν συνεσπειραμένην τὴν 〈τὸν〉 τοῦ παντὸς ἔχουσαν λόγον δύναμιν ἐκέκτητο, διακριθεὶς δὲ καὶ τοῦ σκότους προελθὼν τὴν οἰκείαν τῶν σπερμάτων ἀρετὴν ἔδειξεν, ἔνθα μὲν γῆ φαινόμενος, ἔνθα δ’ ὕδωρ, ὅπου δὲ πῦρ, 〈ὅπου δὲ αἰθὴρ〉 σὺν ἀέρι ἐκτεινόμενος πανταχοῦ τῷ τῆς αὐξήσεως τρόπῳ τῇ τῶν στοιχείων φύσει, φωτίζων τὸ ὅλον οἷον ὀφθαλμοῖς ἡλίῳ καὶ σελήνῃ, καὶ τῇ τούτων διαυγεῖ καὶ λαμπρᾷ στιλπνότητι κινήσει πάσῃ ποδηγὸς γενόμενος. συνεκέκρατο γὰρ αὐτῷ καὶ οὗτος ἐξ ἀρχῆς ἔτι γινομένῳ καὶ τὴν πρώτην συνισταμένῳ φύσιν. ζῷον [τε] γὰρ πρῶτον καὶ ἔμπνουν τε καὶ ἔννουν ὅδε ὁ κόσμος καὶ τότε ἦν ὡς καὶ νῦν φαίνεται. ὥσπερ οὖν οὐκ ἄν τις τολμήσας εἴποι μὴ ζῷον αὐτόν, ἡνίκα ‖ ἐκυΐσκετο (ἀπεδείξαμεν γὰρ ὡς ἐξ ὅλων ὅλος καὶ ὡς ἐκ τελείων τέλειος· πῶς γὰρ ἂν τὰ ὁλοτελῆ παρείχετο μὴ ὢν ὅλος;), οὕτως οὐδὲ τὸ κατὰ γαστρὸς μὴ ζῷον εἴποι τις ἄν.

19 162 ὅνπερ γὰρ τρόπον ὁ χαλκουργὸς ἢ ὁ σιδηρεὺς ἢ ὁ ἀνδριαντουργὸς ἢ ὁ ναυπηγὸς ἤ τις τῶν ὁμοίων οὐκ ἂν λέγοιτο τέλειόν τι τῶν ἐξ αὐτοῦ καὶ ὁλόκληρον παρεσχηκέναι ἐλλείποντός τινος ἢ τῷ ἀνδριάντι ποδὸς ἢ χειρὸς ἢ τῇ μαχαίρᾳ τῆς ἀκμῆς ἢ τῷ σκάφει τοῦ πηδαλίου, τὸ δ’ ἀνελλιπὲς καὶ τοῖς ἅπασιν ἀπηρτισμένον, ἡνίκα λείπει μηδέν, τέλειόν ἐστιν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ κόσμος καὶ τὸ κατὰ γαστρὸς οὐκ ἄν ποτε τὸν τέλειον ἐπέσχε λόγον, εἰ μὴ τότε, ὅτε πρῶτον τοῦ εἶναι μετελάμβανεν, τὴν τοῦ παντὸς ἀνεδέξατο οὐσίαν. Ἀλλὰ γὰρ καὶ ὅτι ἦν ζῷον ὁ κόσμος καὶ διὰ τοῦτο νῦν ἐστιν εἰρηκότες ἐπὶ τὸν περὶ ἀνθρώπου τοῦ μετ’ αὐτὸν κόσμου δευτέρου μετέλθωμεν λόγον, προδιωρισμένου ἡμῖν τοῦ ὅτι ἐστὶ ζῷον, καὶ δείξωμεν ὅτι ‖ τὴν τοῦ ζῴου παρείχετο χρείαν, ὅτε ἦν καὶ ἐν τῇ μήτρᾳ τὸ παιδίον, εἰρηκότος γε δὴ καὶ προθεσπίζοντος καὶ προκηρύττοντος οἷον ἐκ Δελφικοῦ τρίποδος 〈τοῦτο〉 τοῦ τῶν Ἀσκληπιαδῶν Ἱπποκράτους.

19 163 τὴν γὰρ πρώτην καταβολὴν αὐτοῦ καὶ οἱονεὶ ζωότητα συνίστησιν ἀπὸ τῶν ὅλων, εἰδὼς μὴ ἄλλως δυνήσεσθαι τὸ αὐτοτελὲς παρασχεῖν, εἰ μὴ τὴν ἀπὸ τῶν τελείων ζῳογονίαν λάβοι. ‘ἔρχεται γὰρ ὁ γόνος‘, φησίν, ‘ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ μὲν τῶν ὑγιεινῶν ὑγιεινός, ἀπὸ δὲ τῶν νοσερῶν νοσερός‘. ἀπὸ παντὸς εἶπεν οὖν μέρους καὶ ὅλον ἐξ ὅλων· καὶ τοσοῦτον ἐδέησε τοῦ μὴ ζῷον εἰπεῖν, ὥστε καὶ ἀπελύσατο τὰ ἐγκλήματα τοῦ φήσαντος ἂν πρὸς αὐτὸν τὰ ἀνάπηρα μὴ εἶναι τέλεια. βουλόμενος γὰρ μὴ ἀμφίβολ〈ον〉 εἶν〈αι〉 εἰ ζῷον, ἔφη ‘τοῖς μὲν ὑγιεινῶς ἔχουσι τὸ πᾶν ἀνενδεὲς εἰς ἀρτιότητα τὸ σπέρμα καταβάλλεται, τοῖς δ’ εἴς τι κεκολοβωμένοις ἐλλείψει τοῦτο, οὗ τὴν ἀπόρροιαν οὐκ ἔσχε‘. πῶς γὰρ αὐτο〈τελὲς φύσει〉 μὴ ὂν ἐν γενέσει ὑγιὲς ἂν γένοιτο; μόνου γὰρ τοῦ〈το τοῦ〉 ὄντος μὲν 〈οὔκ〉, οὐδέπω γενομένου, ὑγιοῦς δὲ δυνάμει ὄντος καὶ διὰ τοῦτο γένεσιν ἐπιδεχομένου. τῶν γὰρ οὐκ ‖ ὄντων ἐμφανῶς τὰ μὲν οὔπω γέγονε, τὰ δὲ οὐ δύναται, ὥσπερ τὸ ἡμέτερον σπέρμα τὸ μὲν δύνασθαι ζῷον γενέσθαι ἔχει, ἔστι δὲ τότε καὶ ἐνεργείᾳ, ἡνίκ’ ἂν ἀνθρώπῳ παρέχηται.

19 164 τὰ δὲ οὔτε ἔστιν οὔτε δύναται γενέσθαι οὔτε λόγον ἔχει, ὥσπερ αὐτὸ φύσει τὸ μὴ ὄν. τοῦτο γὰρ οὔτε τὸν τοῦ [μὴ] ὄντος οὔτε τὸν τοῦ γενησομένου δέχεται λόγον. ὀρθῶς τοίνυν κατὰ τὸν Ἱπποκράτην ζῷον ἂν τὸ κατὰ γαστρὸς λέγοιτο, 〈ὄντοσ〉 καὶ τοῦ σπείραντος αὐτὸ ἐξ ὅλων καὶ τὴν ὅλου παρέχοντος δύναμιν. Οὐ μόνον δὲ ὅτι ἀπὸ παντὸς καὶ ὅτι ζῷον ἐδήλωσεν, ἀλλ’ ἔδειξεν ἐπὶ ποσότητι ὅτι τὰς τοῦ παντὸς ἀρχὰς ἔχον καὶ δύναται τὰ ὅμοια τῷ ἀφ’ οὗ τὴν ῥίζαν ἔσχε, λέγων ‘δίδυμα γίνεται μὲν ἀφ’ ἑνὸς λαγνεύματος, ἔχουσι δὲ κόλπους 〈συχνοὺσ〉 καὶ γαμψοὺς αἱ μῆτραι‘. ἐνταῦθα γὰρ σαφῶς νοεῖν ἔνεστι δύνασθαι τοῦτο τὸ καταβληθὲν εἰς τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μήτραν σπέρμα, ὅπερ ἦν ζῴου φύσις. ὀλίγον γὰρ ὂν τῷ πλήθει πολὺ τῇ δυνάμει γίγνεται καὶ δείκνυσιν τὴν ἀρχηγὸν αἰτίαν καὶ τὴν τῆς ζωότητος οὐσίαν. καὶ ὥσπερ τὸ ἐν τοῖς || πυρίταις πῦρ ἢ τὸ ἐν τιτάνῳ συνεσπαρμένον οὐκ ἄν τις φήσαι μὴ εἶναι πῦρ, ὅτι μὴ καίει (γίγνεται γὰρ ἐνεργείᾳ τότε πῦρ, ἡνίκα ἂν ὕλης λάβηται καὶ τῆς ἔξωθεν ἀπὸ τοῦ παντὸς εἰσπνοῆς), οὕτως οὐδὲ τὸ καταβληθὲν εἰς τὰς γυναῖκας σπέρμα ἀληθεύει τις μὴ ζῷον εἶναι λέγων.

19 165 καὶ γὰρ τοῦτο δυνάμει μέν ἐστιν ἤδη ζῷον, γίγνεται δὲ καὶ ἐνεργείᾳ, ἡνίκ' ἂν προελθὸν ἔξω τῆς μήτρας ἑαυτὸ συνάψῃ τῷ τὴν ἀρχὴν παρεσχηκότι. μόριον γὰρ καὶ ἀπόσπασμα ὂν τοῦ μεγάλου ζῴου, τοῦ κόσμου, μένον μὲν ἐν μυχοῖς καὶ φωλεῦον συγκρίσεως ἐπέχει λόγον, διακριθὲν δὲ καὶ γενόμενον ἔξω τούτου τοῦ βάθους οἷον χάους ἀσπάζεται τὴν ὁμόφυλον καὶ ὁμοίαν φύσιν ταῖς τῆς ἐνεργείας πράξεσι· κινεῖσθαι γὰρ ταῖς ἐξ αὑτοῦ κινήσεσιν ἄρχεται καὶ τὰ φωσφόρα ὄμματα τείνει διὰ παντὸς τὴν ἡλίου καὶ σελήνης μιμούμενα φύσιν καὶ τὸν νοῦν ἵστησι τῇ πρὸς τὸ ὅμοιον ἀπεικαζόμενον φορᾷ. Ὡς μὲν οὖν ἀπεικότως τινὲς εἶπον οὐ ζῷον τὸ κατὰ γαστρός, ἐκ τῶν εἰρημένων τεκμαί||ρεσθε, ὅσα δὲ καὶ ποῖα ζῷον ποιεῖ, νῦν φράσω.

19 166 τοῦ γὰρ ζῴου διοικουμένου ὑπὸ ψυχῆς καὶ φύσεως καὶ τροφῆς καὶ πνεύματος (τρέφεται μὲν γὰρ ψυχὴ πνεύματι, τροφαῖς δὲ ὑγραῖς καὶ ξηραῖς ἡ φύσις), εὑρεθήσεται δὴ καὶ τὸ ἐν τῇ μήτρᾳ πάσαις ταῖς οἰκονομίαις χρώμενον καὶ ταῖς πρὸς τὴν τῆς ψυχῆς κίνησιν καὶ ταῖς πρὸς τὴν τῆς φύσεως αὔξησιν. καταπίνει τε γὰρ καὶ 〈πνεῖ〉, ὡς Ἱπποκράτει δοκεῖ· τῷ τε γὰρ στόματι καὶ τῇ ῥινὶ τὴν πνοὴν ἄνωθεν ποιεῖσθαί φησι. τινὲς δὲ τῶν Ἀσκληπιαδῶν καὶ θηλάζειν αὐτὸ τὰς ἐν τῇ μήτρᾳ κοτυληδόνας λέγουσι καὶ πέττειν, ἕπεσθαι γὰρ ἀνάγκῃ τοῖς καταποθεῖσι καὶ πέψιν, κἂν ὅτι μάλιστα κατειργασμένην ἤδη παρὰ τῆς μητρὸς λαμβάνῃ τὴν τροφήν. προστεθῆναι γὰρ χωρὶς τῆς δεξαμένης αὐτὸ φύσεως οὐκ ἂν δύναιτο οὐδὲ ὁμοιωθῆναι πρότερον, εἰ μὴ ἐξ ἀνάγκης τῷ τρεφομένῳ τὸ τρέφον τὴν ὁμοίωσιν ἐργάζοιτο, καὶ τότε τὰ ἔργα τῆς τοῦ παιδὸς φύσεως παρασχούσης καὶ ἀναλάβοι τὸ ἕτοιμον πρὸς διάκρισιν καὶ διακρίναι τὸ ἀλλότριον. τούτῳ γὰρ 〈τῷ τρόπῳ〉 καὶ αἱ χολαὶ καὶ οἱ σύμπαντες || χυμοὶ διακριθείσης τῆς τροφῆς γίγνονται.

19 167 μὴ γὰρ δὴ μόνον τὴν διὰ πυλῶν εἰς ἧπαρ δι' ὀμφαλοῦ φερομένην 〈ἕν〉εκ〈α〉 τῶν ἐμβρύων ὕλην τρέφειν νομίζετε· τρέφεται μὲν γὰρ καὶ διὰ τούτων τῶν ὁδῶν, μάλιστα δὲ καὶ διὰ τῶν τελειοτέρων καὶ δι' ὧν ἂν κατενεχθείσης ἀπολαύοι τροφῆς. μὴ γὰρ δὴ δόξητε τοῦ Ἱπποκράτους εἰπόντος 'ἡ δὲ ἀρχαιοτέρη τροφὴ δι' ἐπιγαστρίου ὀμφαλοῦ', ἀγνοεῖν αὐτὸν μὴ καὶ διὰ στόματος τρέφεσθαι· εἶπε γὰρ καὶ περὶ ταύτης τῆς ὁδοῦ, ὡς ἐπάνω προείρηται. μαρτύριον δὲ τοῦ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν τὸ ἅμα τῷ τεχθῆναι τὴν ὁρμὴν πρὸς τὸν μαστὸν ἔχειν· οὐ γὰρ μὴ προεθισθὲν χρῆσθαι τῇ ὁδῷ ταχεῖαν οὕτω τὴν πρὸς αὐτὸν ὥρμα ἂν ὁδόν. ἀτμίζει δὲ καὶ πνευματοῖ τὴν διακριθεῖσαν τροφὴν καὶ προστίθησιν ἑκάστῳ μορίῳ ῥᾳδίως· μεταβάλλει δὲ καὶ τὴν ἐκ σπέρματος εἰς χυμοὺς καὶ τὴν ἐκ χυμῶν εἰς σάρκας καὶ φλέβας καὶ νεῦρα καὶ ἀρτηρίας καὶ ὀστέα καὶ σπλάγχνα καὶ μέλη 〈μεταβολὴν〉 καὶ τὴν ἐξ ὀλίγου εἰς πολύ· καὶ [τὸ] ἐκ μικροῦ γίγνεται μέγα τῆς αὐξητικῆς δυνάμεως μέχρι τῶν οἰκείων ὅρων τῆς αὐξήσεως ἐκτεινούσης αὐτὸ καὶ περατούσης. || Ἃ μὲν οὖν τῆς φύσεώς ἐστιν ἔργα, ἱκανῶς ἡμῖν ἐδείχθη λόγῳ ποιοῦσι τὰ κατὰ γαστρός· ὡς δὲ καὶ ψυχῆς μετέχει καὶ λογισμοῦ διὰ τῶν ἑξῆς πειράσομαι δεῖξαι.

19 168 τῶν γὰρ αἰσθητηρίων ὑπὸ τῆς φύσεως μηχανωμένων εἰς τὸ διαπορθμεύειν τὰς ψυχικὰς δυνάμεις, δι' ὀφθαλμῶν μὲν τὴν ὁρατικήν, δι' ὤτων δὲ τὴν ἀκουστικήν, γευστικὴν δὲ καὶ ὀσφρητικὴν διὰ γλώττης καὶ ῥινός, καὶ τὴν ἁφὴν δὲ διὰ τῶν χειρῶν καὶ τῆς λοιπῆς τοῦ σώματος ἐπαφῆς, φανερὸν ὅτι κενὸς οὐ λείπεται τόπος, ἀλλ' ἕξει τὰ προειρημένα χωρία καὶ κατὰ γαστρὸς ὄντος τοῦ βρέφους τὴν τῆς ψυχῆς οὐσίαν· καὶ τὸν ἐγκέφαλον δὲ ὄντα ταύτης οἰκητήριον ἐξ ἀρχῆς ἔτι συνιστάμενον ἐν αὐτῷ τῷ κύτει τῆς κεφαλῆς ἐγγιγνόμενον ἔχει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆλον οὖν κἀν τούτῳ ὡς ἅμα τῇ τοῦ σπέρματος εἰς τὴν μήτραν ἐξακοντίσει συγκατέσπειρεν ὁ τῶν ὅλων δημιουργὸς καὶ τὴν ψυχήν, ἵνα τὸ σῶμα καὶ τὴν διοικοῦσαν αὐτὸ δύναμιν ἔχῃ. καὶ γὰρ ἴσμεν τοὺς ἔξωθεν δημιουργοὺς τάς τινων ὀργάνων κατασκευὰς ποιουμένους πρός τινων ἐνεργειῶν πράξεις· τρόπιν μὲν τὸν || ναυπηγὸν ὑπόβαθρον τῆς νεὼς ἕνεκα γενομένην, χαράκωμα δὲ τῆς βίας τῶν κυμάτων καὶ τεῖχος ἀσφαλὲς καὶ ἕρκος τῶν ὑφάλων πετρῶν· κοιλαίνοντα δὲ μακραῖς σύριγξι τὸν αὐλοποιὸν τὴν ὕλην τοῦ χαλκοῦ πρὸς ὑποδοχὴν τῶν ἐνιεμένων πνευμάτων· τὸν δὲ μουσικὸν ἐντείνοντα τὰς χορδὰς πρὸς φθόγγων μελῳδίαν· καὶ τὸν ἰατρὸν ἑτοιμάζοντα παιώνια φάρμακα πρὸς ἄμυναν τῶν παθῶν· καὶ τὸν στρατηγὸν δὲ πρὸ τῆς παρατάξεως τὰ τακτικὰ προδιδάσκοντα πρὸς ὑπομονὴν τῶν πολεμίων.

19 169 ὥσπερ οὖν οἱ τὰ τοιοῦτα μηχανώμενοι τινὸς ἕνεκα τὴν παρασκευὴν ἐργάζονται, οὕτω καὶ ἡ φύσις διαπλάττει τῶν ἐν ἡμῖν ἕκαστον ὡς ἐσόμενόν τινος ὄργανον. οὕτως δὴ καὶ ἡ τῶν νεύρων φύσις οὖσα ψυχῆς οἰκητήριον ἐξ ἀρχῆς ἅμα τῷ πνεύματι συμβλαστάνουσα δηλοῖ τὴν ψυχὴν ἅμα τῷ σώματι συνισταμένῳ συνίστασθαι. καὶ γὰρ εἰ μήπω ὀφθαλμὸς ὁρᾷ, γλῶττα δὲ γεύεται, 〈ῥὶς δ’ ὀσφραίνεται〉, οὖς δὲ φωνῶν ἀντιλαμβάνεται καὶ ψυχρῶν ἢ θερμῶν ἢ ξηρῶν ἢ ὑγρῶν ἢ σκληρῶν ἢ μαλακῶν ἀναίσθητος ἡ ἁφὴ γίγνεται κατ’ ἐνέργειαν, ἀλλ’ οὖν γε ὑπόκειται καὶ φωλεύει καὶ δύναται ταῦτα μετ’ ὀλίγον τεχθέντος || τοῦ βρέφους ἐργάζεσθαι.

19 170 τολμήσας δ’ ἂν εἴποιμι τὴν ἡσυχίαν ἐνέργειαν· τὸ γὰρ ἔτι ἐν μήτρᾳ ὄντος τοῦ παιδίου μύειν τοῖς βλεφάροις καὶ τῇ ῥινὶ συνεστάλθαι καὶ τοῖς ὠσὶν ἀνηκουστεῖν ἔργον ἐστὶ προσταττούσης ψυχῆς. τὴν γλῶτταν δὲ οὐκ ἄν τις φήσαι μὴ γεύεσθαι ἐπὶ τῶν κυουμένων ἔτι καὶ τῆς ποιότητος ἀντιλαμβάνεσθαι, φανεροῦ τοῦ πράγματος γιγνομένου διά τι πάθος. πολλάκις γὰρ ἴσμεν ἐναποθνήσκοντα ἐν ταῖς μήτραις παιδία φαυλότητι τῶν προσφερομένων διὰ στόματος τὴν τροφὴν ἀποστραφέντα καὶ ἀπαγορεύσαντα, ἀπειπούσης διὰ τῆς ἐν τῇ γλώττῃ γευστικῆς δυνάμεως τῆς φύσεως πρὸς τὴν τοῦ παιδίου διαμονήν· καὶ τὸ ἀναπνεῖν δὲ ὃν ἔργον τῆς ψυχῆς παρεχόμενα τὰ ἔμβρυα (ἀναπνεῖ γὰρ διὰ στόματος ὡς καὶ μικρῷ πρόσθεν εἴπομεν) δῆλα ἐκ τοῦ συμπαρεῖναι τῷ σπέρματι καὶ τὴν ψυχὴν ἅμα τῇ φύσει. ψυχικὸν γὰρ ἐνέργημα καὶ οὐ φυσικὸν ἰατρῶν παῖδες οἱ πλεῖστοι τὴν ἀναπνοὴν ὡρίσαντο. παιδαριῶδες γὰρ τὸ οἴεσθαι παραγραφὴν εἶναι τοῦ μὴ ψυχῆς ἔργον ὑπάρχειν αὐτὴν τὸ φάναι τὸν καθεύδοντα ἀναπνεῖν || ἀπροαιρέτως, οὔσης τῆς ἀναπνοῆς προαιρετικῆς.

19 171 ὥσπερ γὰρ ἐγρηγορότος τοῦ ζῴου πρὸς πάσας ὑπάρχει τὰς ἐνεργείας ἡ ψυχή (ὁρᾷ τε γὰρ καὶ ἀκούει καὶ τὰ τῶν λοιπῶν αἰσθητηρίων ἐπιτελεῖ, κινεῖταί τε καὶ τούτων δι’ αἰσθήσεως ἀντιλαμβάνεται καὶ πᾶσαν ὑφίσταται πρᾶξιν τείνασα ἑαυτὴν ἀκτινοειδῶς καὶ παρασπείρασα τοῖς ὀργάνοις, δι’ ὧν τὰ χρειώδη συντελεῖ), τὸν αὐτὸν τρόπον καὶ νύκτωρ συσταλεῖσα καὶ σωρευθεῖσα μήθ’ ὑπὸ τῶν ὁρατῶν ἐνοχλουμένη μήθ’ ὑπὸ 〈τῶν〉 ἀκουστῶν θορυβουμένη μήθ’ ὑπὸ τῶν γευστῶν διακρινομένη μήθ’ ὑπὸ τῶν ὀσφραντῶν ἀνατρεπομένη μήθ’ ὑπὸ τῶν τῇ ἁφῇ προσπιπτόντων ἀλλοιουμένη μήτε δρόμοις ἢ περιπάτοις ἢ ἄλλοις γυμνασίοις διαπονουμένη, μόνη δ’ ἐν ἑαυτῇ γιγνομένη τὴν κατὰ τὴν ἀναπνοὴν ἐνέργειαν ἀπεργάζεται. ἢ τὴν μὲν φύσιν ἑκοῦσαν καὶ οὐ μαθοῦσαν τὰ δέοντα ποιεῖν πεπιστεύκαμεν, ψυχὴν δὲ τῆς θειοτέρας μοίρας λαχοῦσαν οὐ παρακολουθεῖν τοῖς ἰδίοις ἐνεργήμασι; θνητὸν καὶ γεῶδες ἡ φύσις καὶ διανοίας ἐκτός ἐστιν, ἣ οὔτε λογισμὸν ἔχει τήν τε θνητὴν μόνην οἶδε περίοδον τήν τε εὔφθαρτον τάξιν εἴληφεν. ἡ ψυχὴ δὲ ἀπόῤ||ροια μὲν τῆς πάσης ψυχῆς 〈οὖσα〉 καὶ τῆς οὐρανίου χορείας ἐπιστήμης ἀντιλαμβάνεται, ἀεὶ δὲ ἐπὶ τὴν πρὸς τὸ ὅμοιον ἐπιγιγνομένη ὁδὸν ὑπερβαίνει μὲν γῆν, τὴν 〈δ’〉 ἐν ὕδατι πλάνην ἀποστρέφεται καὶ ὑπεραναβαίνει τὸν ἀέρα καὶ πυρὸς ἀνωτέρω γίγνεται καὶ τῆς οὐρανίου θειότητος τυγχάνει καὶ τὸν ὑπερουράνιον πολλάκις

βλέπει τόπον, συμπαραστατεῖ 〈τε〉 τῷ τῶν ὅλων δεσπότῃ, περίοδός 〈τε〉 τῶν ἄνω γίγνεται.

19 172 πολλάκις 〈τοίνυν〉 τοῖς αὐτῇ ὁμοιοειδέσι 〈ἐπι〉τυγχάνει 〈καὶ〉 οἶδε κἂν ἐν σώματι γίγνηται, πόθεν ἐστὶ καὶ ὅ τι ἐστὶ καὶ ὅτι σύνεστι τοῖς ὅλοις ὁ τῶν πάντων πατήρ, τούτοις τοῖς σώμασιν, ἐν οἷς ἂν καθιδρύσηται αὐτήν, χρωμένη. μὴ τοίνυν ἀγνοούσης φασκέτωσαν τῆς ψυχῆς γίγνεσθαι τὴν ἀναπνοὴν ὕπνῳ σχολάζοντος τοῦ σώματος· ἱκανωτέρα γὰρ πρὸς πάντα φύσεως ἡ ψυχὴ καὶ δυνατωτέρα. ἢ τὴν μὲν φύσιν 〈οἰόμεθα〉 ὁμοίως καὶ ἐγρηγορότων καὶ καθευδόντων ἐνεργεῖν δύνασθαι (πέττει τε γὰρ καὶ ἀναδίδωσι καὶ διακρίνει καὶ προστίθησι καὶ αὐξάνει ἐν ἑκατέρῳ χρόνῳ), ψυχὴν δὲ μόνον ἐγρηγορότων πράττειν, ἃ προσῆκε τῷ σώματι, κοιμωμένων δὲ τὰ ὅμοια μὴ δύνασθαι; ἄτοπον δὲ || καὶ τὸ ἱκανῶς δεδειγμένου τοῦ ζῷον εἶναι τὸ κατὰ γαστρὸς μὴ καὶ ἀπὸ τῶν ἔξωθεν πιστώσασθαι τὰ προειρημένα.

19 173 μυίας τε γὰρ καὶ σκώληκας οἷον ἐν μήτρᾳ τῇ ὕλῃ ὁρῶντες γιγνόμενα ζῷα ὀνομάζομεν ἀποβλέποντες ἰλυσπώμενα, (κἀκεῖνα δ’ οἶμαι τῆς προνοούσης δυνάμεως αὐτῶν ἐπιστατούσης), ἀμφισβητοῦμεν δὲ περὶ τοῦ ἐν μήτρᾳ ζῳουμένου, εἰ δεῖ σαφῶς ζῷον καλεῖν, καὶ ταῦτα κηρύττοντος Ἱπποκράτους ‘ζωοῦται τὰ μὴ ζῷα, 〈ζῳοῦται τὰ ζῷα, ζῳοῦται τὰ μέρεα〉 τῶν ζῴων, φύσιες πάντων ἀδίδακτοι‘. δέον γὰρ ἢ εἰπεῖν ‘μὴ ζῷα‘ ἢ εἰπεῖν ‘γίνεται τὰ μέρεα‘, τοῦτο μὲν παρέλιπε, τῷ δὲ τοῦ τελείου ὀνόματι κατεχρήσατο, ἵνα ἅμα τῷ συνίστασθαι καὶ ζῷα εἶναι νοῶμεν. φιλοτιμότατον δὲ καὶ ἀμαχέστατον καὶ τὸ ‘φύσιες πάντων ἀδίδακτοι‘ προεθέσπισεν, ἵν’ εἴ τις τρόπον ἢ λόγον ἀπαιτοίη τῆς ζωώσεως, ἐπὶ τὴν πάντα γεννῶσαν αὐτὴν ἀδιδάκτως ἀναφέρηται φύσιν. καὶ τὸ ‘φύσιες‘ δὴ ἐξαρκεῖ παντάπασι παραγράφεσθαι τῶν ἀπίστων τὰς γνώμας καὶ τῶν μὴ ζῷον φασκόντων.

19 174 || ἡ γὰρ ἑκάστῳ τῶν ὄντων τὰ τέλεια πρὸς τὸ εἶναι παρεχομένη δίδωσι καὶ τῷ κυοφορουμένῳ τὴν τοῦ ζῷον εἶναι βεβαίωσιν. πῶς δ’ οὐκ εὔηθες ψυχὴν μὲν καὶ σῶμα ζῷον εἶναι φάσκειν, ἀφαιρεῖν δὲ τοῦ ὄντος τοὔνομα; ὅμοιον γὰρ εἰ καὶ τὸ τὸ πῦρ εἰδοποιοῦν, ὅπερ ἐστὶ τὸ καῖον, ἔχοντος τοῦ πυρὸς τὸ μὲν ἔργον τις ὁμολογοίη, τὸ δ’ ὄνομα μὴ λέγοι, ἢ πάλιν τοῦ ἡλίου φωτίζοντος τὸ σκότος τὸ μὲν γιγνόμενόν τις ὁμολογοίη, τὸ δ’ ἡμέραν εἶναι τοῦτο ἀρνοῖτο τοὔνομα, ἢ εἴ τις τὴν ἐξ ὑγρῶν καὶ στερεῶν εἰς ταὐτὸ σύνοδον τρέφειν λέγοι, τὸ δὲ τροφὴν λέγεσθαι μὴ συντίθοιτο, ἢ τὸ τέμνειν μὲν τὸν χαλκὸν ἢ σίδηρον, φεύγοι δὲ τὸ ὄνομα τῆς μαχαίρας ἢ ὅ τι ἂν ᾖ 〈ὄνο〉μα τοῦ τέμνοντος. ἀλλ’ οὔτε τοῦ ζοφώδους ἀέρος ὑφ’ ἡλίου φωτιζομένου τὸ ἔργον βλέπων εἴποι τις ἂν τὸ τοιοῦτον μὴ εἶναι ἡμέραν οὔτε τοῦ πυρὸς τὴν χρείαν τὸ μὴ πῦρ λέγεσθαι, οὔτε τοῦ τέμνοντος τὴν ἐνέργειαν τὸ μὴ μάχαιραν εἶναι τούτου τὸ ὄνομα, οὔτε τὸ σπέρμα ζωούμενον καὶ μεταλαμβάνον τῆς ζωώσεως ἀφαιρήσεταί τις τὴν προσηγορίαν τοῦ ζῴου. || Ὡς μὲν οὖν καὶ φύσεως καὶ ψυχῆς μετέχει τὸ ἔμβρυον καὶ τῶν ἐφ’ ἑκατέρᾳ ἐνεργειῶν καὶ πῶς ἐστι ζῷον, ἀποχρώντως ἐδείξαμεν.

19 175 λοιπὸν δὲ δείξωμεν ζῷον εἶναι τὸ τοῖς μυχοῖς τῆς μήτρας ἔτ’ ἐγκείμενον. εἰ δέ τις ἡμᾶς ἀπαιτοίη φύσεως λογισμούς, ἴστω πάντα πράττουσαν αὐτὴν αὐτοδιδάκτως τε καὶ αὐτομαθῶς. οὐδὲ γὰρ ὅπως ἐν φυτοῖς σκώληκες γίγνονται ἢ ἀφ’ ἵππων καὶ βοῶν οἱ σφῆκες καὶ 〈αἱ〉 μέλιτται ῥᾴδιον ἡμῖν λέγειν, ἀλλ’ ὑπὸ τῆς φύσεως ἁπλῶς γίγνεται. οὐδὲ γὰρ τοὺς ὄρνιθας πέτεσθαι διδάσκει τις, οὐδὲ τὸ νοεῖν ἡμᾶς ἢ ἀκούειν ἢ βλέπειν, ἀλλ’ ὅμως καὶ τοὺς ὄρνιθας ὁρῶμεν πετομένους καὶ ἡμᾶς αὐτοὺς χωρὶς μαθήσεως νοοῦντάς τε καὶ βλέποντας. ἀπόρρητος γάρ τις καὶ κεκρυμμένη καὶ πολὺ τῆς ἡμετέρας διανοίας βυθιωτέρα ἡ περὶ τὴν φύσιν αὐτουργία. μὴ τοίνυν μηδὲ τὴν περὶ τὰ ἔμβρυα ζῳογονίαν ἀπιστῶμεν εἶναι ζώωσιν. οὐδὲ γὰρ ἐκεῖνα μανθάνει πρός τινος μετὰ τὸ τεχθῆναι τὸ οἰκεῖον ἔργον, ἀλλ’ ἐνόντα ταῖς μήτραις καταπίνει καὶ πέττει καὶ διακρίνει τὴν ἀναδοθεῖσαν καὶ προστίθησι τὴν καθαρθεῖ||σαν καὶ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιττὴν 〈τροφὴν〉 ἀπωθεῖται, ἵν' ἐπειδὰν εἰς φῶς προέλθῃ, τὴν περιττεύουσαν ἐκκρίνῃ.

19 176 τό τε γὰρ μηκώνιον καλούμενον περίττωμα [ὂν] ἐξ ὅλης τῆς τοῦ ἐμβρύου τροφῆς ἐστιν καὶ τὸ ἐν τῷ οὐραχῷ ὑγρόν. 'ἥ τε γὰρ κοιλίη φυσᾶται', φησὶν ὁ παλαιός, 'ἀπὸ τῆς διὰ στόματος εἰσπνοῆς καὶ τὰ ἔντερα, καὶ εἰς τὸν κύσαρον ὁδός τις γίνεται'. κατὰ μικρὸν γὰρ ἐμπῖπτον τὸ περιττὸν εἰς τὸν ἀρχὸν παραγίγνεται· κύσαρον γὰρ τὸν ἀρχὸν εἴρηκε. καὶ μηδεὶς ἡμᾶς παραγέτω 〈τῷ〉 διὰ τὴν τοῦ ἀμνίου ὑμένος περίθεσιν μὴ δύνασθαι διὰ στόματος τρέφεσθαι τὰ ἔμβρυα, ἱκανὴ γὰρ ἡ φύσις διὰ τῶν πόρων εὐπορίαν παρασχεῖν καὶ ὁδὸν εἰς εὐτροφίαν οὖσαν αὐτάρκη. φησὶ δὲ καὶ Δημόκριτος ἄνθρωπον ἐξ ἀνθρώπου ἐξέσσυσθαι καὶ κύνα ἐκ κυνὸς καὶ βοῦν ἐκ βοός, ἀνὴρ εἰδὼς μὲν καὶ τὴν οὐράνιον θεωρίαν, θεωρήσας δὲ καὶ τὴν ἐν ἡμῖν φύσιν, 〈ὃν〉 οὐχ οἷόν τε ἀγνωμονεῖν καὶ λέγειν μὴ ζῷον τὸ κατὰ γαστρός, ὅλον ἐξ ὅλου συστήσαντος αὐτὸ καὶ περάναντος 〈τὸ σύστ〉ημα 〈αὐ〉το〈ῦ ἀνθρώ〉π〈ε〉ιον· καὶ γὰρ οὐδ' ἂν εἶχεν ἀνθρώπου λόγον τὸ γιγνόμενον, εἰ μὴ πάντας μὲν ἐν ἑαυτῷ || περιεῖχε τοὺς τελείους λόγους, ἔμελλε δὲ ποιήσειν οἷα ταῦτα, ἀφ' ὧν τὸ σπέρμα κατεσπάρη.

19 177 ὥσπερ γὰρ τὰ ἢ τῷ ποσῷ ἢ τῇ ποιότητι 〈κακὰ〉 καταβληθέντα σπέρματα ἀναδέχεται τύπους ἢ περί τι [τὰ] μὴ ὁλομελοῦντα ἢ μὴ τοῖς πᾶσιν ἀπηρτισμένα ἢ μορφὰς ἄλλων ζῴων ἔχοντα, τὸν αὐτὸν τρόπον καὶ ὅσα ἐκ καθαροῦ καὶ διακεκριμένου σπέρματος τυγχάνει, τὸν ἐντελῆ τῶν ζῴων ἐπέχει λόγον. ὃ γὰρ λεῖπον παραποδισμὸν τῆς ὅλης φύσεως εἴληφε 〈καὶ〉 ἐκμελῆ καὶ ἐκλείποντα 〈ποιεῖ〉 τὰ ἔμβρυα καὶ διὰ 〈τοῦ〉το μηκέτι ζῷα, τὸ αὐτὸ μὴ παραποδισθὲν ζῳογονεῖται ἐκ σπέρματος. Μήτ' οὖν φιλόσοφός τις ὡς ἀμύητος τῶν ἄνω μήτ' ἰατρὸς τῶν ἀπὸ Ἀσκληπιοῦ ὡς ἀθεώρητος τῶν ἐν ἀνθρώπῳ τῆς φύσεως ἀποκηρυττέτω καὶ ἀποξενούτω τὰ ἔμβρυα, ἀλλ' αὐτὸς πολὺ πρότερον ἑαυτὸν ἀναθεωρησάτω ἢ παρὰ πρεσβυτέρων μαθέτω ἢ ὑπὸ τῶν γεννησάντων ἀναμνησθήτω, ὡς ἦν ποτε καὶ αὐτὸς ἔμβρυον, καὶ τοίνυν αὐτὸς ἢ τότε τελείως ἐν μήτρᾳ πρότερον ἐσχηματούργηται ἢ οὐ τελεσιουργεῖται νῦν, καὶ ὡς ἐκ σπέρματος τοῦ εἶναι γέγονεν ἡ ῥίζα αὐτῷ καὶ ὡς οὐκ ὀφείλει παρανοίας ἄγειν τὴν || φύσιν.

19 178 ῥᾳδιουργῆσαι γάρ ἐστι τὰ ἐκείνης θέσμια καὶ τοὺς 〈σκώληκας τοὺσ〉 τῆς γῆς δημιουργουμένους ὑπ' αὐτῆς φάναι ζῷα μὲν ὑπάρχειν τὴν αὐτὴν 〈τοῖς φυτοῖς ἀρχὴν〉 τῆς γενέσεως πάντας ἐσχηκότας καὶ τοῖς αὐτοῖς μυχοῖς ἐντεθραμμένους, φάσκειν δὲ μὴ ζῷα τοὺς ἐν μήτρᾳ τεθραμμένους. ἢ ἐκ μὲν πυρῶν [οἱ] πυροὶ γενήσονται καὶ ἐκ τῶν ἄλλων σπερμάτων τὰ ὅμοια καὶ ἐκ φυτῶν φυτὰ τὴν αὐτὴν τοῖς γειναμένοις φύσιν εἰληφότα, ἄνθρωπος δὲ τὸ θειότερον τῶν ἄλλων καὶ τῶν ὅλων κρεῖττον, τὸ ὅμοιον κατὰ δύναμιν θεῷ, μὴ τὴν αὐτὴν τοῖς σπείρασιν ἀναδέξεται θειότητα; Ἀλλὰ γὰρ ἤδη καὶ νόμῳ καὶ τοῖς συμβεβηκόσι δείξομεν ζῷα τὰ ἔμβρυα εἶναι, τοῦ μὲν ζῆν τῇ φύσει τὴν αἰτίαν προστιθέντες, τοῦ δ' εὖ ζῆν μετὰ τῆς ψυχῆς τοῖς 〈αὐτῆσ〉 τὴν πρόσβασιν ἀναδεξαμένοις νομοθέταις (τοῦτο γάρ εἰσιν οἱ νόμοι, κωλύειν μὲν τὰ κακὰ πράττεσθαι, φυλάττειν δὲ τὰ ἤδη ὄντα καλὰ ἢ τὰ μέλλοντα [ἢ τὰ παρόντα] προσποιεῖν)· 〈οὗτοι οὖν〉 τιθέμενοι τοὺς νόμους δύο τοῖς μεγίστοις ἀπέδειξαν εἶναι τὰ ἐν τῇ γαστρὶ ζῷα· ἑνὶ μὲν τῷ προσθεῖναι τιμωρίαν τῷ αἰτίῳ τῆς ἐξαμβλώσεως γενομένῳ, || ἑτέρῳ δὲ καὶ δευτέρῳ τῷ δύνασθαι [καὶ] κλήρου μεταλαμβάνειν καὶ τοὺς μήπω γεγενημένους.

19 179 εἶδον γὰρ ἀκριβέστερον τῶν πλειόνων ὡς ἂν καὶ θεῶν ἔργα μιμούμενοι. θεῶν γὰρ τὸ νομοθετεῖν πρῶτον, εἴπερ ὁ μὲν τῶν ὅλων πατὴρ ἐν θεοῖς πάντα διέταξε νόμῳ (κινεῖται γὰρ καὶ ὁ κόσμος ταῖς ἐκείνου προστάξεσι καὶ οἱ πλανῆται δὲ τὴν οἰκείαν ἕκαστος σφαῖραν ἐν νενομοθετημένῳ χρόνῳ καὶ ἥλιος καὶ σελήνη τοὺς ὡρισμένους δρόμους, ἐῤῥίζωται δὲ ἡ γῆ τοῖς τοῦ δημιουργοῦ κελεύσμασι, 〈καὶ〉 κέχυται ὕδωρ καὶ ἀὴρ ἥπλωται καὶ πῦρ ἵεται καὶ τὴν ἰδίαν ἐνέργειαν ἕκαστον τηρεῖ φοβούμενον ὑπερβῆναι τὸν ἴδιον νόμον), ἐνομοθέτησε μέντοι Κρησὶν ὁ Ζεὺς καὶ Λακεδαιμονίοις ὁ Πύθιος καὶ Ἀθηναίοις ἡ Παλλάς. οἱ οὖν τούτων μαθηταὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νομοθέται Λυκοῦργος καὶ Σόλων βεβαίως ἡμῖν δι’ ὧν προεῖπον κεφαλαίων δύο τὴν ὑπὲρ τῶν ἐμβρύων ἀναμφισβήτητον παρέσχον ὑπόθεσιν. εἰ γὰρ [εἴπερ] μὴ ζῷα ἦν, οὐκ ἂν ἐκόλασαν τοῖς νόμοις φανερῶς τιμωρησάμενοι τοὺς αἰτίους τῆς ἐξαμβλώσεως, ἐπειδὴ δὲ ἔφασαν ζῷα εἶναι, τὴν τιμωρίαν || ἐπήγαγον.

19 180 τίς γὰρ τὸν ἤδη τέλειον καὶ ὡμολογημένον ἄνθρωπον εἰσπράττεται δίκην ὑπὲρ τοῦ μήτε κατὰ τὴν μήτραν ὄντος ἀνθρώπου μήτε τὴν ἀρχὴν ἐζωωμένου ποτὲ 〈ἢ〉 κλῆρον ἀφίησιν οὐ γιγνώσκων, εἰ ζῷον τὸ ἔμβρυον; πῶς οὖν ἐπισκήπτεις τὸ κατὰ γαστρὸς μὴ ζῷον εἶναι λέγων; τίς χρῆται διαδόχῳ τῷ μήπω τὸ εἶναι πεπιστευμένῳ; τίς ἐρεῖ τὸν αὑτοῦ κύριον τὸν ἀμφισβητούμενον; οὔπω Περικλῆς ἐγένετο 〈ὁ〉 Ὀλύμπιος καὶ πᾶσιν ἤδη φοβερὸς τοῖς Ἕλλησι διὰ τὸ ἐνύπνιον ἦν, οὔπω Πεισίστρατος καὶ τύραννος 〈ἤδη〉 ἦν· οὔπω Ὀλυμπιὰς Ἀλέξανδρον ἐκύη〈σεν〉 καὶ πάντες Ἄμμωνος ἔλεγον ἤδη παῖδα καὶ βασιλέα 〈π〉άση〈ς ἀ〉ρχ〈ῆ〉ς. καὶ Κύψελος ἔτι ζῳογονούμενος καί〈ριοσ〉 εἶ〈ναι〉 τοῖς Βακχιάδαις οὐκ ἐδόκει, φοβοῦντος αὐτοὺς ἰνδάλματος. λέγεται δὲ ὡς καὶ Ἑκάβη τὸν Ἀλέξανδρον ἐδεδοίκει πρὶν τεκεῖν, ἐκπλήξαντος αὐτὴν καινοτάτου θεάματος, ἀλλὰ καὶ πάντες Φρύγες ἐκ τοῦ μήπω γεγενημένου πυρὸς δεχόμενοι τὰς συμφοράς· καὶ Ἀλκμήνη δὲ γεννήσουσα τὸν Ἡρακλέα φοβερὰ τοῖς ἀντιστρατιώταις ἐγίγνετο καὶ τοὺς ἐχθροὺς μὴ θαῤῥεῖν ἐποίει τὸν παῖδα κατὰ γαστρὸς ἔχουσα.

19 181 || τοσοῦτον οὖν ἀπεῖχον τοῦ μηδὲ ζῷα λέγειν τὰ ἔμβρυα, παρ’ ὅσον κατ〈εῖπον〉 τὸ μὴ μόνον εἶναι ζῷα, ἀλλὰ καὶ τῆς ἀνθρώπου φύσεως ἀλκιμώτερα, κἂν ἔτι ταῖς μήτραις ᾖ προσεῤῥιζωμένα. Ἀλλὰ γὰρ ἤδη καὶ πρὸς αὐτά μοι τὰ ἔμβρυα γιγνέσθω ὁ λόγος ὡς ἤδη τὴν ἀνθρώπου ἐντελῆ ζώοτητα μεμορφωμένα. προίετέ μοι τῶν μυχῶν μηδὲν πεφοβημένα, μήτε γένους πάρεσιν μήτε φιλτάτων ἀπαλλοτρίωσιν μήτε κτημάτων ἀφαίρεσιν, οὐδὲν ὑμᾶς ἡ τῶν πολλῶν συκοφαντία καὶ τῶν αὐτὴν ἀδικούντων τὴν φύσιν πανουργία παραγράψεται. ὅθεν αὐτῶν ὑμεῖς τιμωροὶ καταστήσεσθε ὡς Περικλῆς, ὡς Πεισίστρατος, ὡς Πάρις, ὡς ὁ Μακεδὼν Ἀλέξανδρος καὶ Ἡρακλῆς.